# ΗΠΕΙΡΩΤΙΚΑ ΧΡΟΝΙΚΑ

## ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ

ΙΔΡΥΘΕΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ
ΠΡΟΝΟΙΑι ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΙΩΑΝΝΙΝΩΝ
ΣΠΥΡΙΔΩΝΟΣ ΒΛΑΧΟΥ



ΕΠΙΜΕΛΕΙΑι ΔΕ ΤΩΝ ΗΠΕΙΡΩΤΩΝ
ΠΕΡΙΚΛΕΟΥΣ ΒΙΖΟΥΚΙΔΟΥ
ΕΝ ΒΕΡΟΛΙΝΩι
ΓΕΩΡΓΙΟΥ ΑΝΑΓΝΩΣΤΟΠΟΥΛΟΥ
ΕΝ ΑΘΗΝΑΙΣ
ΑΛΚΙΒΙΑΔΟΥ ΚΟΝΤΟΠΑΝΟΥ
ΕΝ ΙΩΑΝΝΙΝΟΙΣ

ΕΝ ΙΩΑΝΝΙΝΟΙΣ
ΕΝ ΤΗι ΙΕΡΑι ΜΗΤΡΟΠΟΛΕΙ

ΕΤΟΣ ΤΕΤΑΡΤΟΝ
1929

# ΠΑΤΡΙΑΡΧΙΚΟΝ ΣΙΓΙΛΛΙΟΝ

## ΑΝΑΦΕΡΟΜΕΝΟΝ ΕΙΣ ΤΗΝ ΠΑΡΑ ΤΟ ΜΟΝΟΔΕΝΔΡΙ ΜΟΝΗΝ ΤΟΥ ΖΑΓΟΡΙΟΥ ΤΟΥ ΠΡΟΦ. ΗΛΙΟΥ

ΥΠΟ

**ΔΙΟΝ. Α. ΖΑΚΥΘΗΝΟΥ**

Ἐν τῇ γνωστῇ καὶ πολυτίμῳ Παρισιακῇ Συλλογῇ [1] Πατριαρχικῶν ἐγγράφων ἀναφερομένων εἰς τὴν ἱστορίαν πολλῶν ἑλληνικῶν μοναστηρίων, ἡ ὁποία κυρίως διὰ τῆς μελέτης τοῦ Σπ. Λάμπρου [2] ἐγένετο γνωστὴ εἰς τοὺς ἐρευνητάς, εὑρίσκομεν καὶ σιγίλλιον τοῦ Πατριάρχου Νεοφύτου τοῦ Ζ'. ἀπολυθὲν κατὰ Μάϊον τοῦ 1790 καὶ ἀναφερόμενον εἰς τὸ «*ἐν Ἰωαννίνοις ἐν χώρᾳ βίτζῃ μονοδένδρι μοναστήριον τοῦ Προφήτου Ἡλιοὺ τοῦ θεσβίτου*», καθὼς ἀναγράφεται ἐν τῷ ἐπὶ τοῦ ὀπισθίου ἀγράφου μέρους τῆς περγαμενῆς σημειώματι, γραφέντι ὑπὸ τοῦ καταρτίσαντες τὴν ἐν λόγῳ συλλογήν. Τὸ σιγίλλιον τοῦτο εὑρίσκεται ἐν τῷ 707φ τόμῳ (graecus suppl. 707) ὑπ' αὔξοντα ἀριθμὸν 67. Ἡ γραφὴ αὐτοῦ εἶναι ἐπιμεμελημένη καὶ εὐανάγνωστος· μόνον εἰς τὰς πρώτας δέκα περίπου σειρὰς καὶ δὴ περὶ τὸ μέσον ἐφθάρησαν μερικαὶ λέξεις.

Μελετήσας καὶ ἐγὼ τὴν Συλλογὴν ταύτην ἀντέγραψα μεταξὺ τῶν ἄλλων καὶ τὸ ἠπειρωτικοῦ ἐνδιαφέροντος σιγίλλιον καὶ παραδίδω αὐτὸ σήμερον διὰ τῶν «Ἠπειρωτικῶν Χρονικῶν» εἰς χρῆσιν τῶν εἰδικῶς περὶ τὴν μελέτην τῶν Ἠπειρωτικῶν μοναστηρίων ἀσχολουμένων.

Ἐν τῇ μεταγραφῇ ἐτήρησα τὴν ὀρθογραφίαν τοῦ χειρογράφου καὶ τὰς μὲν προσθήκας ἔκλεισα ἐντὸς γωνιῶν ⟨ ⟩, τὰς δὲ ἀναλύσεις συντετμημένων λέξεων ἐντὸς παρενθέσεων ( ).

---

[1]) Κώδικες ἑλληνικοὶ συμπληρωματικοὶ 704—708 βλ. *H. Omont*, Inventaire... ἐν τῷ οἰκείῳ τόπῳ.

[2]) «Ὀγδοήκοντα Πατριαρχικὰ σιγίλλια», Νέος Ἑλλην. 3, (1906) σ. 377—401. Ὁ αὐτὸς ἐξέδωκε τρία σιγίλλια ἀναφερόμενα εἰς Μονὰς τῆς Ἀττικῆς· βλ. αὐτόθι, 4 (1907) σ. 83—104. Πρβλ. ἐπίσης *Σ. Κουγέαν*, αὐτ. 7 (1910) σ. 344—7, (1911) σ. 237—8 καὶ *Π. Π. Ζερλέντην*, ἐν Βυζαντίδι 2 (1911—1912) σ. 438—448.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

**Νεόφυτος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.**

Πολλαχῶς μὲν οἶδεν ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη Ἐκκλησία χεῖρα βοηθείας ὀρέγειν τοῖς χρήζουσι καὶ διαφόροις ἀντιλήψεως τρόποις τρόποις ἀντιλαμβάνεσθαι τῶν προστρεχόντων ἐπ' εὐλόγοις αἰτίαις τῇ π(ατ)ριαρχικῇ περιωπῇ, καὶ μεγαλειότητι πρὸς ὠφέλειαν καὶ καταρτισμὸν τῶν ὑπ' αὐτὴν τελούντων, μᾶλλον δὲ τῶν ⟨ἄλλων⟩ φροντίζειν εἴωθεν ἐπιμελείαις ἀδιακόποις τῆς τῶν ἱερῶν σκηνωμάτων, καὶ θείων καταγωγίων συστάσεις, αὐξήσεώς τε καὶ βελτιώσεως, καὶ τὴν ἐνοῦσαν αὐτοῖς ἐπ⟨ιχορ⟩ηγεῖν ἐπικουρίαν καὶ βοήθειαν· καὶ δὴ προνομίοις κανονικοῖς δεδαψιλευμένοις ἀνέκαθεν τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ πατριαρχικῷ, ἀποστολικῷ τε, καὶ οἰκουμενικῷ θρόνῳ στα⟨υρο⟩παγιακὴν ἀξίαν, καὶ χάριν ἐπιμνηστεύεται τοῖς χρήζουσι, δι' ἧς τῶν ἐνδεχομένων δεινῶν ἀνώτερα καθιστῶσα τὰ ἱερὰ καταγώγια πρὸς αὔξησιν ἤδη χωρ⟨ηγεῖ;⟩ χά⟨ριν;⟩. Ἐπειδὴ τοιγαροῦν ἀνηνέχθη ἡμῖν πολλάκις διὰ γραμμάτων, καὶ κοινῆς ἀναφορᾶς τῶν ἐν τῇ χώρᾳ βίτζᾳ λεγομένῃ οὔσῃ τε καὶ ὑποκειμένῃ τῇ ἁγιωτάτῃ μ(ητ)ροπόλ⟨ει Ἰωαννί⟩νων εὑρισκομένων χριστιανῶν, ὅτι παρὰ τῇ πατρίδι αὐτῶν ταύτῃ εἰρημένῃ χώρᾳ βίτζᾳ μονοδένδρῃ κεῖται καὶ διατελεῖ ἱερὸν μονήδριον τιμώμενον ἐπ' ὀνόμ⟨ατι⟩ τοῦ ἁγίου ἐνδόξου προφήτου ἡλιοὺ τοῦ θεσβίτου, ὅπερ ἀνηγέρθη καὶ ἀνῳκοδομήθη ἐκ βάθρων δι' ἐπιστασίας καὶ δαπανημάτων, καὶ ἐξόδων φιλευσεβῶν τινων χριστιανῶ⟨ν θείῳ⟩ ζήλῳ κινουμένων καὶ περὶ τὰ θεῖα μεγάλην τὴν εὐλάβειαν ἐχόντων, καὶ προικοδοτησάντων ηὐξήθη καὶ ἐβελτιώθη καὶ ἄχρι καιροῦ τινος ᾠκονομεῖτο καὶ ⟨διῳκεῖτο⟩ καλῶς, εἶτα δὲ τῇ τοῦ καιροῦ παρατάσει, καὶ ἐξ ἀμελείας περιέπεσεν εἰς δεινὴν δυστυχίαν, καὶ ἀθλίαν κατήντησε κατάστασιν, μὴ ἔχον τὴν ἀναλογοῦσ⟨αν ἰσχ⟩υρὰν διεφένδευσιν καὶ προστασίαν ἐκινδύνευσεν ἐρείπιον γενέσθαι· ὅθεν οἱ ἐν αὐτῷ μονάζοντες ὀλίγιστοι ὁσιώτατοι πατέρες, ναὶ μὴν καὶ οἱ πλησιόχω⟨ροι⟩ τῆς εἰρημένης χώρας βίτζας εὐσεβεῖς χριστιανοὶ θεῖον ζῆλον ἀναλαβόντες πρὸς βοήθειαν καὶ διάρκειαν τοῦ ἱεροῦ τούτου μοναστηρίου, κατιδόντες τὴν ἀνάγκην αὐτοῦ ⟨καὶ⟩ τὸ ἀπροστάτευτον, ἄλλως τε καὶ φροντίζοντες καὶ ἐπιμελούμενοι τῆς εἰς τὸν ἅπαντα χρόνον ἀσφαλοῦς συστάσεως αὐτοῦ, ἵνα μὴ περιπέσῃ τοῦτο ἐσχάτῃ δυστυχίᾳ καὶ ἐρείπιον καταστῇ καὶ εἰς κενὸν ἀποβῶσιν οἵ τε μόχθοι καὶ τὰ διαπονήματα [1], ἃ πρὸς σύστασιν αὐτοῦ καὶ αὔξησιν προεγένοντο, προσέδραμον τῇ προνοίᾳ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ

[1]) Η περγαμηνή: *διαπανήματα*. Ἔγραψα: διαπονήματα, ἴσως ὅμως ἐννοεῖ: *δαπανήματα*.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἐδεήθησαν θερμῶς διὰ κοινῶν αὐτῶν ἐνυπογράφων, ὡς εἴρηται, ἀναφορῶν, καὶ διὰ κοινοῦ ἐνυπογράφου τῶν ἐν αὐτῷ συνασκουμένων ὁσιωτάτων πατέρων γράμματος, καὶ δι' ἰδίου τοῦ κατὰ τόπου ἀρχιερέως, καὶ κυριάρχου τῆς ἐπαρχίας ταύτης ἱερωτάτου μητροπολίτου Ἰωαννίνων, ὑπερτίμου καὶ ἐξάρχου κερκύρων ἐν ἁγίῳ πν(εύματ)ι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ, καὶ συλλειτουργοῦ κύρ - μακαρίου, συναινοῦντος καὶ τῆς αὐτοῦ ἱερότητος πρὸς σύστασιν καὶ ἰσχυρωτέραν διεφένδευσιν τοῦ αὐτοῦ μονηδρίου συμφώνως οὕτως ἐξαιτουμένων, καὶ δεομένων σταυροπηγιακῆς χάριτος, καὶ ἀξίας τυχεῖν τὸ ἱερὸν τοῦτο μονήδριον ἀσύδωτον ἐλεύθερόν τε καὶ ἀδούλωτον αὐτὸ δειχθῆναι, ὡς ἂν ὑπὸ τὴν προστασίαν διατελοῦν ἀμέσως τοῦ καθ' ἡμᾶς ἁγιωτάτου π(ατ)ριαρχικοῦ ἀποστολικοῦ τε καὶ οἰκουμενικοῦ θρόνου, καὶ τῆς ἐνούσης ἀντιλήψεως καὶ ἐπικουρίας ἐπαπολαῦον, καὶ ἀνώτερον διατηρούμενον πάσης ἐνδεχομένης ἐπηρείας διαρκεῖν ἔχῃ σὺν θεῷ συμπαρατεινόμενον τῷ χρόνῳ. Ταύτην γοῦν τὴν ἔνθερμον αἴτησιν ὡς πρὸς θεοφιλῆ σκοπὸν ἀφορῶσαν πρὸς σύστασιν δηλονότι τοῦ ἱεροῦ ἐκείνου μονηδρίου εὐμενῶς προσηκόμενοι, καὶ χριστομιμήτως ἀποδεξάμενοι, καὶ τὸν χριστιανικὸν αὐτῶν ζῆλον ἐπαινέσαντες ἔγνωμεν γνώμῃ κοινῇ, καὶ συνοδικῇ διαγνώσει, ἅτε δὴ τῆς συστάσεως τῶν ἱερῶν σκηνωμάτων, καὶ θείων καταγωγίων παντὶ σθένει φροντίζοντες ἀντιλαβέσθαι καὶ τούτου ⟨τοῦ⟩ ἱεροῦ μονηδρίου, καὶ σταυροπηγιακὴν αὐτῷ ἐπωνυμίαν, χάριν τε καὶ ἀξίαν ἐπιχορηγῆσαι διὰ πατριαρχικοῦ ἡμῶν καὶ συνοδικοῦ σιγγιλιώδους γράμματος κατὰ τὰ ἅπερ κέκτηται ἀρχαῖα προνόμοια ὁ καθ' ἡμᾶς ἁγιώτατος οὗτος π(ατ)ριαρχικός, ἀποστολικὸς καὶ οἰκουμενικὸς θρόνος. Τούτου χάριν ἐπινεύσαντες ταῖς θερμαῖς δεήσεσιν αὐτῶν σὺν λόγῳ δικαίῳ τε καὶ τρόπῳ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πν(εύματ)ι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ εἰρημένον ἱερὸν μονήδριον τὸ κείμενον πλησίον ἔξωθι τῆς χώρας βίτζας οὕτω λεγομένης μονοδένδρι, καὶ τιμώμενον ἐπ' ὀνόματι τοῦ ἁγίου ἐνδόξου προφήτου ἠλιοὺ τοῦ θεσβίτου ὑπάρχῃ μετὰ πάντων τῶν κτημάτων, καὶ πραγμάτων, καὶ ἀφιερωμάτων αὐτοῦ κινητῶν τε καὶ ἀκινήτων τῶν τε ἤδη ὄντων, καὶ τῶν εἰσέπειτα προσγεννησομένων ἂν, καὶ λέγηται, καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον π(ατ)ριαρχικόν, καὶ σταυροπηγιακόν, ἐλεύθερον ἀδούλωτον, καὶ ἀκαταπάτητον παρὰ παντὸς προσώπου ἱερωμένου, ἢ λαϊκοῦ, καὶ παρὰ τοῦ κατὰ καιροὺς ἀρχιερατικῶς προϊσταμένου τῆς ἐπαρχίας ταύτης ἱερωτάτου μ(ητ)ροπολίτου Ἰωαννίνων, καὶ τῶν ὑπ' αὐτῷ ἐπισκόπων ἀνενόχλητον, ἀκαταζήτητον, καὶ ὅλως ἀνεπηρέαστον, μηδενὶ ἄλλῳ ὑποκείμενον, εἰμὴ ἀμέσως τῷ καθ' ἡμᾶς ἁγιωτάτῳ π(ατ)ριαρχικῷ, ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, καὶ ὑπ' αὐτοῦ μόνον κρινόμενον, καὶ ἀνακρινόμενον,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

δεσποζόμενόν τε, καὶ ἐξουσιαζόμενον, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, καὶ μηδενὶ μηδὲν ὀφεῖλον παρέχειν, ἢ προσφέρειν, οὔτε τῷ κατὰ τόπον ἀρχιερεῖ, οὔτε ἄλλῳ τινὶ ἱερωμένῳ προσώπῳ, ἢ λαϊκῷ μέχρι καὶ ὀβολοῦ, εἰμὴ τῷ κατὰ καιροὺς διϊθύνοντι τοὺς πνευματικοὺς οἴακας τοῦ παγκοίνου καὶ οἰκουμενικοῦ τουτουῒ σκάφους δύο ὀκάδας ᾠοῦ τεταρυχευμένου λόγῳ ὑποταγῆς καὶ εὐγνωμοσύνης. Οἱ δ' ἐν αὐτῷ μονάζοντες ὁσιώτατοι πατέρες ἐλεύθεροι ⟨ὄντ⟩ες καὶ ἀδούλωτοι, ὀφείλωσι διάγειν κοσμίως, καὶ εὐτάκτως, καὶ φιλαδέλφως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ αὐτοῦ ἐπαγγέλματος, καὶ εἰρηνικῶς καὶ φιλαλλήλως ἀναστρέφεσθαι, καὶ φροντίζειν παντὶ αὐτῶν σθένει τῆς συστάσεως, αὐξήσεώς τε καὶ βελτιώσεως τοῦ ἱεροῦ τούτου καὶ σεβασμίου ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μονηδρίου, καὶ χρίσεως ἡγουμένου ἐν αὐτῷ γενομένης κοινῇ αὐτῶν ψήφῳ, καὶ ὁμοφώνῳ γνώμῃ καθιστᾷν ἡγούμενον οἷαν εὕρωσιν ἐξ αὐτῶν ἱκανόν, καὶ ἁρμόδιον, καὶ ἄξιον οἰκονόμον, ὡσαύτως δὲ ἐν χρείᾳ χειροτονίας γενόμενοι, ἔχωσι προσκαλεῖν τὸν κατὰ τόπους ἀρχιερέα ἱερώτατον μ(ητ)ροπολίτην Ἰωαννίνων ποιήσοντα τὰ τῆς χειροτονίας, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐν αὐτῇ μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως, ὡς νενόμισται ἀνενόχλητοι καὶ ἀνεπηρέαστοι, καὶ ἐπ' οὐδεμιᾷ αἰτίᾳ καὶ προφάσει ἀκαταζήτητοι διαμένοντες παρὰ παντὸς προσώπου ἱερωμένου, ἢ λαϊκοῦ, ὡς τὴν σχέσιν καὶ τὴν ἀναφορὰν ἄμεσον ἔχοντες πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν. Ὅστις δὲ καὶ ὁποῖος τῶν ἁπάντων ἱερωμένος, ἢ λαϊκὸς τολμήσεσεν ἂν διασεῖσαι καὶ ἀνατρέψαι τὰ τῆς σταυροπηγιακῆς χάριτος, ἀξίας τε καὶ ἐλευθερίας τοῦ ἱεροῦ τούτου π(ατ)ριαρχικοῦ καὶ σταυροπηγιακοῦ ἡμῶν μονηδρίου, καὶ ἐπιχειρήσῃ οἱοδήτινι τρόπῳ κινηθῆναι ἀπ' ἐναντίας τῇ κοινῇ καὶ συνοδικῇ ἡμῶν ταύτῃ ἀποφάσει, καὶ ἐπηρεάσῃ τὸ ῥηθὲν ἱερὸν μονήδιον, καὶ ἐνοχλήσῃ ἐφ' οἱαδήτινι προφάσει τοῖς ἐν αὐτῷ συνασκουμένοις ὁσιωτάτοις π(ατ)ρᾶσι, καὶ βίαν, ἢ ἀπαίτησιν αὐτοῖς ἐπαγάγῃ, ὁ τοιοῦτος ὡς ἀλαζὼν καὶ καταφρονητὴς τῆς ἐκκλησιαστικῆς ἀποφάσεως, καὶ ἀνατροπεὺς τῆς εὐνομίας, καὶ ἀρίστης διοικήσεως τοῦ ἱεροῦ τούτου μονηδρίου ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας ὁμοουσίου, καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας τριάδος τοῦ ἑνὸς τῇ φύσει ⟨θ⟩εοῦ ἡμῶν, καὶ κατηραμένος καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς π(ατ)ρι(αρχι)καῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος, καὶ ἔνοχος τῷ πυρὶ τῆς γεέννης. Ὅθεν εἰς ἔνδειξιν, καὶ διηνεκῆ, καὶ μόνιμον τὴν ἀσφάλειαν τῆς π(ατ)ριαρχικῆς ἡμῶν καὶ συνοδικῆς ταύτης ἀποφάσεως ἕνεκεν τῆς ἐπιχορηγηθείσης π(ατ)ριαρχικῆς καὶ σταυροπηγιακῆς χάριτος καὶ ἀξίας τῷ ῥηθέντι σταυροπηγιακῷ ἡμῶν μονηδρίῳ, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον π(ατ)ριαρχικὸν καὶ συνοδικὸν σιγγιλιῶδες

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ἐν μεμβράναις γράμμα καταστρωθὲν κἂν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ ἐπεδόθη τῷ εἰρημένῳ ἱερῷ, καὶ σεβασμίῳ ἡμετέρῳ π(ατ)ριαρχικῷ καὶ σταυροπηγιακῷ μονηδρίῳ τοῦ προφήτου ἡλιοῦ τῷ κειμένῳ παρὰ τῇ χώρᾳ βίτζᾳ λεγομένῃ τῆς ἐπαρχίας Ἰωαννίνων: Ἐν ἔτει σωτηρίῳ ἀψϘῳ κατὰ μῆνα μάϊον ἐπινεμήσως ἡ'.

Νεόφυτος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

*Παρίσι, Ὀκτώβριος 1928.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008